# CORPUS
# SCRIPTORUM HISTORIAE BYZANTINAE.

EDITIO EMENDATIOR ET COPIOSIOR,

CONSILIO

B. G. NIEBUHRII C. F.

INSTITUTA,

OPERA

EIUSDEM NIEBUHRII, IMM. BEKKERI, L. SCHOPENI, G. ET L. DINDORFIORUM ALIORUMQUE PHILOLOGORUM PARATA.

---

PARS XIX.

NICEPHORUS GREGORAS.

VOLUMEN I.

---

BONNAE
IMPENSIS ED. WEBERI
MDCCCXXIX.

Digitized by Google

A. M. 6791 ad 6836 Imp. Andron. Senioris.

θυούσης καὶ λόγον οὐκ ἐχούσης χειραγωγὸν καὶ πρύτανιν τῶν πραττομένων. τῆς δ' ἀκμῆς τῶν δεινῶν παυσαμένης καὶ καιρὸν ἤδη τῆς προαιρέσεως εἰληφυίας μετὰ στάθμης τινὸς καὶ κρίσεως τὰς τῶν πράξεων ἀρχὰς παρέχεσθαι τῇ χειρὶ, μοχθηρίαν γνώμης κατηγορεῖ τοῦ πράξαντος, εἴ τι μὴ κατὰ τὸ προσῆκον γίγνοιτο.

C θ'. Κατὰ τοῦτον μέντοι τὸν χρόνον συνέβη γενέσθαι σεισμὸν τῶν πάνυ μεγίστων, ὑφ' οὗ πολλαὶ μὲν τῶν μεγάλων οἰκιῶν, πολλοὶ δὲ τῶν μεγάλων νεῶν οἱ μὲν ἐπεπτώκεισαν, οἱ δὲ διεῤῥάγησαν. ἐπεπτώκει δὲ καὶ ὃν πρὸ τοῦ νεὼ τῶν ἁγίων ἀποστόλων ἐπὶ κίονος ἔστησε τοῦ ἀρχιστρατήγου Μιχαὴλ ἀνδριάντα Μιχαὴλ βασιλεὺς ὁ Παλαιολόγος, ὁπότε τῆς Κωνσταντινουπόλεως ἐγκρατὴς ἐγεγόνει· ὃν αὖθις Ἀνδρόνικος βασιλεὺς, ὁ ἐκείνου παῖς, ὡς D εἶχε σχήματος, ἐπεσκεύασέ τε καὶ ἀνεστήλωσε. (B.) Κατὰ δὲ τὸ ἐπιὸν θέρος ἧκεν ἐκ Τραπεζοῦντος εἰς Κωνσταντινούπολιν Εὐδοκία ἡ τοῦ βασιλέως ἀδελφὴ, θανόντος ἐκεῖ τοῦ ἀνδρὸς αὐτῆς Ἰωάννου τοῦ Λαζοῦ· ἧκε δὲ μετὰ τοῦ δευτέρου ταύτης παιδός. τὸν γὰρ πρῶτον Ἀλέξιον ἐκεῖ καταλείπει, τὴν πατρικὴν περιέπειν ἀρχήν. ταύτην δὴ τὴν Εὐδοκίαν πέμψας ὁ Κράλης Σερβίας ἐζήτει γυναῖκα λαβεῖν, ἵν' αἰωνιζούσας ποιήσῃ πρὸς Ῥω- E μαίους σπονδάς. ἰσχυρὸς γὰρ ἦν καὶ οὐ διέλιπε τὰ Ῥωμαίων ἀεὶ συγχέων πράγματα καὶ πόλεις καὶ χώρας τὰς μὲν αἱρῶν, τὰς δὲ ληϊζόμενος. τοῦτο πολλαπλῇ μεριζομένην τῷ βασιλεῖ τὴν ἀπορίαν ἤνεγκε· πρῶτον μὲν, ὅτι περὶ πλείονος τὴν τοῦ Κράλη φι-

4. παρέχεσθαι W.

primitur, cum manus velut ebriae sunt, nec mens adest, quae eas regat et rebus gerendis praesit. Verum cum pericula ipsa iam propulsata sunt, cum libera voluntas tempus ad consultandum habet, re perpensa, certo animi iudicio manum armare eique ius omne permittere, id vero animum vitiosum arguit, si quid secus quam oportet committatur.

9. Sub hoc tempus terrae motus maximus fuit, quo multae magnae aedes, multa etiam et magna templa partim corruerunt, partim dehiscentibus muris labefacta sunt. Corruit et Michaëlis Archangeli statua, quam Michaël Palaeologus ante aedem S. Apostolorum, cum Constantinopolin recepisset, columnae imposuerat. Eandem autem deinde filius eius Andronicus Imperator eodem habitu refecit et erexit. (II.) Insequuta aestate Eudocia Imperatoris soror Trapezunte in Urbem venit, marito eius Ioanne Lazo mortuo. Venit autem cum filio suo iuniore. Nam primogenitum Alexium ad paternum imperium administrandum domi reliquerat. Eudociae nuptias Crales Serviae per legatos ambiebat, ut perpetuum foedus cum Romanis sanciret. Erat enim potens, neque unquam Romanam rem turbare desistebat, partim occupando urbes, partim agros populando. Ea res in magnam dubitationem Imperatorem adduxit, primum quod Cralis amicitiam magni faciebat: deinde quod

Digitized by Google

λίαν ἐτίθετο· δεύτερον, ὅτι καὶ τὴν ἐκείνου συνάφειαν ἀποτρό- A. C.
παιον ἡγεῖτο ἡ τοῦ βασιλέως ἀδελφὴ Εὐδοκία καὶ οὐδ' ἄκροις 1282
ὠσὶν ἀκούειν ἠνείχετο τῶν λεγόντων· τρίτον, ὅτι καὶ τέταρτον ad
ἦν ὅπερ ᾔτει συνοικέσιον. τῇ γὰρ πρώτῃ, θυγατρὶ τοῦ τῆς Βλα- 1328
χίας ἄρχοντος οὔσῃ, χρόνους τινὰς συνοικήσας εἶτα αὐτὴν μὲν Imp. Andron. Senioris.
ἀπέπεμψεν εἰς τὴν θρεψαμένην· ἠγάγετο δὲ τὴν γυναικαδέλφην P. 125
τοῦ αὐταδέλφου τὸ μοναχικὸν αὐτὴν περιδύσας πρότερον σχῆμα.
εἶτα τῆς τῶν Τριβαλλῶν ἐκκλησίας ἀνθισταμένης ἐπιπολὺ πρὸς B
τὸ παράνομον, ἐκπέμπει καὶ ταύτην μετὰ πολὺν τὸν χρόνον.
ἄγεται δὲ τὴν ἀδελφὴν τοῦ τῆς Βουλγαρίας ἄρχοντος Σφενδο-
σθλάβου, σύζυγον τρίτην αὐτήν. ἐπαιδοποίησε δὲ μετ' οὐδεμιᾶς V. 103
τῶν τριῶν. ἤδη δὲ καὶ ταύτην ἀποστέρξας εὐγενεστέραν ἐζήτει
συγγένειαν. (Γ.) Ἐπεὶ δ' ἡ μὲν Εὐδοκία τὴν ἐκείνου συνοίκη-
σιν ὅλαις προθέσεσι τῆς ψυχῆς ἀπηρνεῖτο, ὁ δ' ἐκεῖθεν ἐμβρι- C
θῶς ἐπέκειτο ζητῶν οὐ μικρὰς προστιθεὶς καὶ τὰς ἀπειλάς, ἀναγ-
κασθεὶς ὁ βασιλεὺς μηνύει τῷ Κράλῃ περὶ τῆς ἑαυτοῦ θυγατρὸς
Σιμωνίδος, πέμπτον τῆς ἡλικίας ἀγούσης ἔτος, ἵν' ὑπ' ἐκείνῳ
λαβόντι τρέφοιτο, μέχρις ἂν ἐς τὸν νομιζόμενον ἔλθῃ τοῦ γάμου
χρόνον κἄπειτα εἴη σύζυγος αὐτῷ τοῦ λοιποῦ. ἔαρος οὖν ἐπιστάν-
τος ἄπεισιν ὁ βασιλεὺς μετὰ τῆς δεσποίνης ὁμοῦ καὶ τῆς θυγα-
τρὸς ἐς Θεσσαλονίκην ἐπαγόμενος καὶ τὸν Πορφυρογέννητον δέ- D
σμιον, δέει τοῦ μὴ διαδρᾶναι συνεργίαις μητρικαῖς. οὐ γὰρ διέ-
λιπεν ἡ μήτηρ Θεοδώρα ἡ δέσποινα διηνεκῶς ὑπὲρ τοῦ παιδὸς
ἀσχάλλουσα καὶ ζητοῦσα τὴν λύσιν αὐτοῦ. (Δ.) Ἧκει δ' ἐκεῖ-

17. ὑπ' A., ἐπ' W.

soror Eudocia illius coniugium abominabatur, et ne primoribus quidem auribus vocem eorum qui de illo loquerentur admittebat: tertio, quod quartum esset illud quod peteret coniugium. Nam cum prima uxore, Blachiae Principis filia, per annos aliquot vixerat; deinde ea in patriam remissa, sororem uxoris fratris sui, monastico prius habitu detracto, duxerat uxorem. Cum autem Triballorum Ecclesia illegitimis illis nuptiis diutius adversaretur, longo post tempore et illam ablegaverat, et Bulgariae Principis Sphendosthlavi sive Wenceslavi sororem sibi iunxerat, uxorem tertiam. Atque ex nulla harum trium uxorum liberos susceperat. Sed cum et huius amor refrixisset, illustriorem affinitatem quaerebat. (III.) Enimvero cum Eudocia matrimonium illud toto animo aversaretur, ille vero petitionem vehementer urgeret non parvis minis additis: coactus Imperator illi de Simonide filia sua significat, quintum iam annum agente, ut ab illo domi accepta aleretur, donec ad nubilem aetatem perveniret, ac deinde coniux esset. Appetente igitur vere, Imperator cum Imperatrice et cum filia Thessalonicam proficiscitur, in vinculis etiam Porphyrogenitum adducens, veritus ne matris opera elaberetur. Nam mater Theodora Imperatrix non desinebat quotidie ob filium quiritari et liberationem eius flagitare. (IV.) Eo-

Digitized by Google

A. M. 6791 ad 6836 Imp. Andron. Senioris.

θεν καὶ ὁ Κράλης φέρων ὁμήρους τοὺς κατὰ γένος προὔχοντας υἱέας τῶν Τριβαλλῶν, φέρων δ' ὁμοῦ καὶ τὴν ἀδελφὴν τοῦ Σφενδοσθλάβου πρὸς πίστωσιν τῶν σπονδῶν. ᾗ δὴ καὶ μικρὸν ὕστερον πρὸς τὴν Κωνσταντινούπολιν κομιζομένῃ μίγνυται σαρκι- E κῶς Μιχαὴλ ὁ Κουτρούλης, ὃς τοῦ βασιλέως γενόμενος ἐπ' ἀδελφῇ γαμβρὸς νῦν διετέλει χηρείαν ἄγων θανούσης ἐκείνης. μίγνυται μὲν οὖν τῇ ῥηθείσῃ λάθρα τὸ πρῶτον, ἔπειτα καὶ σύζυγον ἄγεται νόμιμον ἐς τοὐμφανές. καὶ ἵνα τἀν μέσῳ συντέμω, στεῤῥὰς καὶ μάλα βεβαίας ὁ Κράλης τὰς σπονδὰς ποιησάμενος καὶ οἷαι κατὰ γνώμην ἦσαν τοῦ βασιλέως, ἐπάνεισι τὴν Σιμωνίδα λαβὼν βρέφος οὖσαν τεσσαρακοντούτης τυγχάνων αὐτὸς καὶ τοῦ βασιλέως καὶ πενθεροῦ καθ' ἡλικίαν προήκων πέντε ἔτεσιν ἔγγιστα.

P. 126 ι'. Κατὰ δὲ τὸ ἐπιὸν ἔτος ἐς τὴν βασιλεύουσαν ἐπανήκοντι τῷ βασιλεῖ πέμπουσί τινες τῶν ὑπὲρ τὸν Ἴστρον Μασσαγετῶν λαθραίαν πρεσβείαν· Ἀλανοὺς ἡ κοινὴ τούτους καλεῖ διάλεκτος· οἳ δὴ καὶ Χριστιανοὶ τυγχάνοντες ἄνωθεν ἔπειτα τῇ βιαίᾳ χειρὶ τῶν Σκυθῶν ὑπαχθέντες σώμασι μὲν ἐδούλευσαν ἄκοντες, τὴν δὲ γνώμην αὐτονομίας ἀεὶ κατεβίβρωσκεν ἔφεσις καὶ τῶν ἀσεβῶν ἀλλοτρίωσις. πέμπουσιν οὖν χῶρον ἀρκοῦντα ζητοῦντες εἰς οἴκη- B σιν ὑπὲρ τὰς δέκα χιλιάδας αὐτῶν βουλομένων ἐλθεῖν πανοικί, εἴ γε βουλομένῳ εἴη καὶ βασιλεῖ, καὶ ἅμα συμμαχήσειν ὑπισχνούμενοι κατὰ τῶν Τούρκων ὅλαις χερσί, κραταιωθέντων ἤδη καὶ κατατρεχόντων ἀδεῶς καὶ πορθούντων ὅλην τὴν τῶν Ῥωμαίων Ἀσίαν.

4. σαρκικῶς A., σωματικῶς W.

dem et Crales venit, obsides adducens secum principum Triballorum filios, item Sphendosthlavi sororem ad pacem confirmandam. Cum qua non multo post quam in urbem perducta erat, furtim consuevit Michaël Cutrules, qui uxorem duxerat sororem Imperatoris, eaque mortua viduus tunc erat. Cum ea inquam iste consuevit principio clam, deinde eandem palam uxorem duxit. Et ut rem in pauca conferam, Crales foedere sancito et probe ita ut Imperator volebat firmato domum discedit, secumque Simonidem infantulam abducit, ipse quadragenarius, et socero quinque circiter annos natu maior.

10. Sequente anno aliqui Massagetae ex iis qui ultra Istrum habitant (Alani vulgo dicuntur) clandestinam legationem ad Imperatorem cum in Urbem rediret mittunt: qui cum iam inde antiquitus Christiani essent, postea a Scythis per vim subacti, corporibus inviti serviebant: animis vero desiderio libertatis tabescebant, et impios abominabantur. Petunt igitur locum sufficientem ad habitandum amplius decem millibus hominum, qui si Imperatori placuisset cum omni familia migraturi essent; unaque strenuam operam se contra Turcos velle navare promittunt, qui auctis viribus totam Romanorum Asiam impune incursabant ac populabantur. Ea legatio

Digitized by Google

# GEORGES PACHYMÉRÈS
# RELATIONS HISTORIQUES

III. Livres VII-IX

ÉDITION, TRADUCTION FRANÇAISE ET NOTES

PAR

Albert FAILLER

PARIS
INSTITUT FRANÇAIS D'ÉTUDES BYZANTINES
21, RUE D'ASSAS
—
1999

ϛ'. Περὶ τοῦ πρὸς τοὺς Σέρβους κήδους τοῦ βασιλέως καὶ διὰ ταῦτα τῆς τοῦ πατριάρχου ἐπιδημίας ἐκεῖσε.

Τὴν δέ γε δευτέραν Ἄνναν ᾑρεῖτο πέμπειν τῷ κραλεῖ Σερβίας Στεφάνῳ τῷ Οὔρεσι, ἐφ' ᾧ τῷ δευτέρῳ υἱῷ Μηλωτίνῳ — ὁ γὰρ ὁμωνυμῶν τῷ πατρὶ καὶ πρῶτος τῷ ῥηγὶ Παιονίας εἰς θυγατέρα γεγάμβρευτο — εἰς γάμον συνάπτειν. | Καὶ δὴ τῶν πρὸς ἀλλήλους συνθεσιῶν τελεσθεισῶν, στέλλει B 351 μὲν εἰς πρεσβείαν τὸν ἱεράρχην, συνεκπέμπει δὲ καὶ τὴν κόρην ὑπὸ θεραπείᾳ μεγίστῃ βασιλικῇ. Καί γε καταλαβοῦσι τὴν Βέρροιαν σφίσι τὰ τῆς βουλῆς ἔστη πεμφθῆναι πρὸς τὸν Οὔρεσιν Στέφανον τὸν χαρτοφύλακα Βέκκον, ἅμα δὲ σὺν ἐκείνῳ καὶ τὸν Τραϊανουπόλεως Κονδουμνῆν. Ἦν δὲ καὶ πρὸς τῆς δεσποίνης ἐντεταλμένον τῷ χαρτοφύλακι αὐτὸν προαπελθεῖν καὶ γνωρίσαι τὰ κατὰ τοὺς Σέρβους τρανότερον, ὅπως μὲν σφίσιν ἐστὶν ἡ δίαιτα, ὅπως δ' ἡ τάξις τῆς ἐκείνων ἀρχῆς διιθύνεται · ἐκείνη γὰρ καὶ μεγίστην τὴν θεραπείαν τῇ θυγατρὶ προητοίμαζεν ἐπὶ χλιδῇ παντοίᾳ βασιλικῇ. Ἐκείνῳ τοίνυν προαπελθόντι γνωρίσειν καὶ σημανεῖν προσετάσσετο, πρὶν ἂν ἐπιβῇ Σερβίας ὁ πατριάρχης. Οἱ δ' ἐπιστάντες οὐ μόνον οὐδὲν τῶν εἰς θεραπείαν εἶδον ἐκεῖσε καὶ ἀρχῆς τῆς τυχούσης ἄξιον, ἀλλὰ καὶ τὸ θεραπευτικὸν τὸ ἐν ἐκείνοις βλέπων ὁ Οὔρεσις καὶ οἰκίδιον, καὶ μᾶλλον τὸ τῶν ἡμιανδρίων, τί ἂν καὶ εἴησαν οὗτοι διεπυνθάνετο. Ὡς δ' ἤκουε παρ' ἐκείνων ὅτι τάξις ἐστὶν αὕτη βασίλειος καὶ ὡς τῇ βασιλίδι εἰς θεραπείαν ἀκολουθήσαιεν, ἐκεῖνος ἐπαλαστήσας εὐθύς · « Αἴ αἴ, φησί, τί ταῦτα ; Καὶ ἡμῖν οὐ συνήθης αὕτη ἡ δίαιτα. » Καὶ τὸν φάναι τε καὶ ἅμα τὴν | νύμφην δεικνύειν πενιχρὰ φοροῦσαν καὶ ταλασίᾳ προσέχουσαν, καί · B 352 « Οὕτω, λέγειν χειρὶ δεικνύντα, ταῖς νύμφαις ἡμεῖς προσφερόμεθα. » Ἦσαν δὴ καὶ τὰ κατ' αὐτοὺς τὸ παράπαν λιτά τε καὶ εὐτελῆ, ὡς ἀποζῆν θήραις καὶ κλέπτοντας.

Ὡς γοῦν ὑπέστρεφον οἱ πεμφθέντες καὶ ἀκριβῶς ἐδήλουν τῷ πατριάρχῃ ἅ τε εἶδον καὶ ἃ ἤκουσαν, ἐπέκλασάν τε τοῖς περὶ ἐκεῖνον τὴν προθυμίαν

1272

1 ϛ' om. AB    1-2 Περὶ — ἐκεῖσε om. AB    2 ἐπιδημίας : -είας C    3 πέμπειν : πέμψειν ante corr. A ‖ κραλεῖ : κρατοῦντι edd.    4 Οὔρεσι : -ιν AB ‖ ὁμωνυμῶν : ὁμονυμῶν A    5 γεγάμβρευτο : -βρωτο A    6 τελεσθεισῶν om. edd.    9 Οὔρεσιν : -ι A    10 Κονδουμνῆν : Κουδουμηνήν C edd.    11 ἐντεταλμένον : ἐντεταγμένον AB edd.    12 τρανότερον : -ώτερον C ‖ ἐστὶν : ἔσται B    13 δ' : om. AB Poss. δὲ Bekk.    16 ἐπιβῇ : ἐπιβῆναι B    17 τῆς ante ἀρχῆς add. A    20 ἐστὶν αὕτη : ἐστὶ ταύτη C    21 ἐπαλαστήσας : ἀπαλαστήσας edd. ‖ εὐθύς om. B edd. ‖ Αἴ αἴ, φησί : φησὶν αἴ αἴ B edd.    25 δὴ : δὲ A ‖ λιτά τε : λυτάτα B    28 ἐπέκλασάν : ἀπ- C Poss.

---

La leçon des manuscrits A et B (Κονδουμνῆς) a été retenue, de préférence à celle de C (Κουδουμηνής), mais la graphie du patronyme est instable. P. D. Mastrodèmètrès [*Ἕλληνες λόγιοι (ιε'-ιθ' αἰῶνες)*, Athènes 1979] montre que la forme Κουδουμνῆς a prévalu plus tard (index, *s.v.*). Voir la notice de Kondoumnès dans *PLP*, nº 13010. Sur Jean Bekkos, voir p. 170 n. 3.

4. Dans le contexte, il faut sans doute attribuer un sens général au mot νύμφη, que le rédacteur de la version brève a traduit par γυναῖκα.

Τούτοις κατανεύει καὶ βασιλεὺς καὶ ἤδη τὴν ἀδελφὴν παντοίως ὑπέρχεται, νόμιμόν τε τὸ συνάλλαγμα[82] βεβαιούμενος · ἡ γὰρ νόμιμος ἐτεθνήκει, ἣ δή, ταῖς μὲν ἐπιούσαις[83] περιοῦσα ἔτι, τὸ νόθον εἰργάζετο καὶ παράνομον, τῇ δ'[84] ἐφεξῆς ἔκτοτε τελευτήσασα[85] τὸ[86] νόμιμον δίδωσι καὶ ἄξιον προσέτι ἀξίᾳ[87]. Ἀλλὰ[88] πόλλ' ἄττα λέγων οὐκ ἔπειθεν · ἠβούλετο γάρ, ὡς ἐῴκει, ἐκείνη τῷ ἀνδρὶ φυλάττειν τὰς πίστεις καὶ τελευτήσαντι, καὶ μὴ ὅτι γε κράλῃ[89] Σερβίας, ἀλλὰ μηδὲ[90] καὶ τούτου πολλῷ μείζονι εἰς λέχος δεύτερον συνιέναι. Τὰς δὲ τοῦ βασιλέως θεραπεύσεις[91] ἱκανὰς μὲν ἔκρινεν ἄλλως καὶ πιθανάς, ἄλλῃ δέ γ' ἴσως, | οὐ μὴν ἑαυτῇ, εἰ καὶ πρέπειν ἔλεγε τοῖς[92] μεγέθεσι στοργὴν πρὸς B 275 τὰς συνοικούσας ἀμετακίνητον μᾶλλον ἢ εὐκολίαν πρὸς ἀλλοτρίωσιν. Ὅμως δ' ἐπεὶ οὐ μέλον ἦν ταύτῃ τοῦ συναλλάγματος, τὸ πρὸς τὰς ἐπ' ἀδόξοις ἀναμνήσεις ἀταμίευτον ἔχειν τὴν παρρησίαν περισσὸν ἔκρινε καὶ ἐσίγα.

λα'. Περὶ τοῦ πρὸς τὸν κράλην ἐπὶ θυγατρὶ κήδους τοῦ βασιλέως.

Ἀπογνοὺς δ' ἐκεῖθεν ὁ βασιλεὺς τῆς περὶ[93] τῇ ἀδελφῇ πείρας, τὸν κράλην Σερβίας ἀδοξότερον ἢ πρὸς οἰκειότητα τὴν ἐξ ἰδίας θυγατρὸς ἔκρινε, μείζονα δ' αὖθις ἢ καταφρονεῖσθαι. Διὰ τοῦτο καὶ τὸν καιρὸν τῷ ἐλλείποντι[94] προστιθείς, ἀξιώτερον ἐποίει πρὸς τὴν ἐπὶ θυγατρὶ συζυγίαν. Ἦν οὖν πάνυ ἀστεῖον τοῦτο τὸ θυγάτριον[95], οὔπω τὸν ἕκτον παραλλάττον[96] ἐνιαυτόν, ἀγαπητὸν μὲν ἑαυτῷ, ἀγαπητὸν δ' ἐκτόπως καὶ τῇ μητρί. Ἐπὶ τούτῳ[97] τὸ κῆδος ἐβούλετο[98] συνιστᾶν, οὐ κατὰ χρείαν μᾶλλον ἢ κατ' ἀνάγκην. Ἤδη μὲν οὖν τὰ πρὸς τὴν συνοικοῦσαν τῷ κράλῃ παρακεκίνητο φίλτρα[99], καὶ ὅλως ἦν ἐκεῖνος τῆς ἐπὶ τῷ[1] βασιλεῖ πίστεως · τὸ δ' ἐπὶ ταύτην εἱλ|κυσμένον[2] παλινδρομεῖν B 276 ἐξ ἀσυνθεσίας δεινὸν ἦν καὶ μόνον κατανοούμενον · ἐκλύεσθαι γὰρ ἀνάγκη τὸ πρόθυμον ἀποτυχόντι[3] τῶν ἐλπισμῶν καὶ τοὐντεῦθεν ἐχθραίνειν μᾶλλον ὑποκνισθέντι, καὶ πρὸς τὰ μείζω μὴ εὐοδούμενον. Ταῦτα τὴν βασιλέως ἔπειθον γνώμην καὶ παρὰ τὸ εἰκὸς πραγματεύεσθαι. Καὶ δὴ ὅλον οἰκειοῦται διὰ πρεσβείας τὸν κράλην, μαθόντα τὴν ἐπὶ θυγατρὶ ἀντὶ τῆς ἀδελφῆς τοῦ βασιλέως συγγένειαν · καὶ ὅρκοι τὸ λοιπὸν προὔβαινον ἐπὶ τούτοις καὶ συνθεσίαι, καὶ ἡ δεσπόσυνος κράλαινα ἐπικέκλητο. Μόνον δ' ἦν λοιπὸν ἀπαντᾶν[4] κατὰ τὴν Θεσσαλῶν μητρόπολιν βασιλέα, ὡς διαπρεσβευομένοις συνέκειτο, καὶ οὕτω συνελθεῖν[5] κράλην, καὶ τὴν τοῦ Τερτερῆ μὲν ἀποστέλλειν[6] τῷ βασιλεῖ, προδιδόναι δὲ καὶ τὸν Κοτανίτζην, λαμβάνειν δὲ τὴν τοῦ βασιλέως γνησίαν, ἣν δὴ καὶ Σιμωνίδα ἐκυριωνύμουν Ῥωμαῖοι, καὶ οὕτως, αὐτῇ συνοικοῦντα, πλὴν τὸν τῆς[7] συναφείας καιρὸν ἀναμένοντα, ἐν παισὶ τετάχθαι καὶ φίλοις γνησίοις τῷ βασιλεῖ.

82 συνάλλαγμα : -αμα B  83 ἐπιούσαις : οὔσαις C  84 δ' : δὲ edd.  85 τελευτήσασα : -σαντα C edd.  86 τὸ om. AB edd.  87 ἀξίᾳ : -ίαν AB  88 καὶ post Ἀλλὰ add. B edd.  89 κράλῃ : κράτος C  90 ἀλλὰ μηδὲ : ἀλλ' οὐδὲ AB edd.  91 θεραπεύσεις : ἐπιθ- AB  92 ἔλεγε τοῖς : ἔλεγεν εἰκὸς (εἰκὼς A) AB  93 περὶ : μετὰ A (post corr.) B edd.  94 ἐλλείποντι : ἐλλήπ- A  95 τοῦτο τὸ θυγάτριον : τούτω θυγάτριον A τοῦτω γάτριον B  96 παραλλάττον : -άτον A  97 τούτῳ : ταύτῃ AB  98 ἐβούλετο : ἠβ- AB edd.  99 τὰ... φίλτρα : τὸ... φίλτρον AB  1 τῷ om. AB edd.  2 εἱλκυσμένον : εἱλκισ- AB Poss.  3 ἀποτυχόντι : -χὼν C  4 λοιπὸν ἀπαντᾶν : ἀπαντᾶν λοιπὸν B edd. ἀπαντᾶν C  5 οὕτω συνελθεῖν : οὕτως ἐλθεῖν AB edd.  6 ἀποστέλλειν : -ει B  7 τῆς om. AB edd.

κράλην συναλλάγματος παρῃτήσατο, κἀντεῦθεν σκάνδαλον συμβῆναι γενέσθαι τοῖς τῆς ἐκκλησίας πράγμασι. Διὰ τοῦτο καὶ δυοῖν μεταξύ, τῆς τε πρὸς τοῦτον θωπείας καὶ τῆς δοκούσης αὐτῷ δικαιολογίας, ἐναποληφθείς[49], συνετῶς ὑπήγετο πρὸς ὅ τι καὶ δόξοι τῷ[50] πατριάρχῃ. Παραγίνεται τοιγαροῦν βασιλεὺς καὶ τοῖς περὶ τὸν πατριάρχην συγγίνεται · ἦμεν δὲ καὶ ἡμεῖς σὺν ἄλλοις ἐκεῖ. Καὶ[51] τότε καθίσαντος μὲν βασιλέως, συνεδριασάντων δὲ καὶ τῶν ἱερῶν ἀνδρῶν, ἐκίνει πατριάρχης πρὸς | βασιλέα τὰ δοκοῦντά οἱ B 293 πρὸς[52] παραλύπησιν, δι' ἃ καὶ ἐγγωνιάζειν ἐθέλει[53] καὶ παραιτεῖσθαι καὶ ἐκκλησίας προεδρίαν καὶ ἱερωσύνην αὐτήν, εἰ πλέον συναναγκάζοιτο. Καὶ πρὸ τῶν ἄλλων τὸ τοῦ κράλη προετίθει καὶ τὰ δοκοῦντά οἱ προσίστασθαι ἀνετάττετο, ὅτι δηλαδὴ συνεστὼς κατὰ νόμους γάμος διαλυθείη καὶ τὴν τοῦ βασιλέως ἐκεῖνος, ἠθετηκὼς τὴν ἰδίαν, νηπίαν οὖσαν, ἀγάγοιτο, καὶ ὅτι χρυσολογεῖταί τε καὶ ἀργυρολογεῖται τὸ πᾶν, τετιμιουλκημένου μὲν τοῦ χρειώδους ἅλατος, τετιμιουλκημένου[54] δὲ καὶ σιδήρου, συχνῶν δὲ καὶ συνδοσιῶν γινομένων, καὶ τρίτον ὡς καταφρονεῖται αὐτός, ἀναφορὰς[55] πολλάκις ὑπὲρ τοῦ δοκοῦντος δικαίου ποιούμενος.

Ἐντεῦθεν δὲ βασιλεύς, εἰς[56] τὴν ὑπὲρ τούτων ἀπολογίαν καταστάς, ἐπὶ τῷ τοῦ κράλη μὲν[57] συναλλάγματι οὐκ ὄρεξιν ἰδίαν καὶ τὴν ἐκεῖθεν ἑαυτῷ ὄνησιν ᾐτιᾶτο · πολλῷ γὰρ ἥκιστα τοῦτο, ὅσῳ καὶ προσζημιωθείη αὐτὸς τὰ μεγάλα, κόριον ὃ ἐκ ψυχῆς ἔστεργε καὶ ᾧ προσετετήκει καὶ αὐτὸς καὶ μήτηρ καὶ γάμους ἑτοιμάζειν ἐγκαίρους τοὺς ἐκ ῥηγῶν ᾤετο[58], ἐξ ἀγκαλῶν οἰκείων ἀποσπασθέν[59], βαρβάρῳ τε καὶ τὰ πάντ'[60] ἀστόργῳ καὶ μηδὲν σεμνὸν ἐπὶ τῆς ἀρχῆς ἔχοντι καταπροϊέμενος, ἀλλ' ἀνδρῶν καὶ χωρῶν καὶ πραγμάτων προσηκόντων τῇ βασιλείᾳ, τῶν μὲν ἀπαγομένων ἀθλίως, τῶν δ' ἐρημουμένων ἐσχάτως, | τῶν δὲ σκυλευομένων ἀναποδότως, καὶ αἰχ- B 294 μαλωσίας τοσαύτης τε καὶ τοιαύτης χάριν ταῦτα πράττοι καὶ παρὰ γνώμην καὶ παρὰ θέλησιν · πολλὰ γὰρ καὶ εἰρήνην ἀνύτειν[61] ὅσα σίδηρος οὐκ ἰσχύει, καὶ σπονδὰς καταπράττειν καὶ μόλις τὰς ἐκ τῶν γάμων, συντακτικωτάτας οὔσας καὶ ἀσφαλεῖς, ὅσα μὴ μάχαι καὶ πόλεμος οὑμενοῦν[62] κατεπράξαντο[63] · οὐ μὴν δ' αὖθις καὶ νόμων ἐς ἅπαν ἐκτός, ὡς αὐτὸν οἴεσθαι, πράττειν · δῆλον γὰρ εἶναι καὶ κανόσι καὶ νόμοις προστεταγμένον, μὴ ἂν ἐκχωρεῖσθαι τὸν νόμιμον ἀγαγόμενον ταύτην μὲν ἀφεῖναι παρὰ μηδεμίαν αἰτίαν εὔλογον, συμπλέκεσθαι δ' ἄλλῃ[64] · εἰ δέ τις τολμῴη, αἰτίαν μὲν μοιχείας ἀποίσεσθαι τὸν τολμῶντα[65], τὴν δὲ συνοίκησιν εἶναι παράνομον, ὥστε, τῆς πρώτης καὶ ζώσης ἠθετημένης[66], ὁπόσας τοὐντεῦθεν ἠγάγετο μὴ ἐγκεκριμένας[67] εἶναι[68] τοῖς νόμοις, μηδ' ἐν γυναιξὶ νομίμοις[69] τάττεσθαι. « Ἦ[70] οὐ ταῦθ' οὕτω καὶ ἐν ἡμῖν ἔχει, φησὶν ὁ κρατῶν ; Πυνθάνου τοιγαροῦν

49 ἐναποληφθείς : -λειφθεὶς AB Poss. 50 τῷ om. edd. 51 Καὶ om. edd. 52 πρὸς init. lin. iter. C 53 ἐθέλει : -οι AC 54 τετιμιουλκημένου : τετιμηου- A 55 ἀναφορὰς : -ᾶς AB 56 εἰς : ὡς B 57 μὲν τῷ τοῦ κράλη transp. AB edd. 58 ᾤετο : ᾤοντο AB 59 ἀποσπασθέν : ἀναρπ- B edd. 60 πάντ' : πάντα B edd. 61 ἀνύτειν : ἀνύττειν C 62 οὑμενοῦν correxi : οὐμένουν ABC edd. 63 κατεπράξαντο : -ατο B 64 δ' ἄλλῃ : ἄλλην AB 65 τολμῶντα : τομ- B 66 ἠθετημένης καὶ ζώσης transp. AB edd. 67 ἐγκεκριμένας : ἐνγκε- A 68 εἶναι om. B edd. 69 μηδ' ἐν γυναιξὶ νομίμοις iter. A 70 Ἦ : ἢ Bekk.

τῶν εἰδότων καὶ πιστῶς μάνθανε ὡς οὐκ ἄλλως ἡμῖν ἐγένετο καταδέξασθαι τὸ συνάλλαγμα[71], εἰ μὴ καὶ ὅρκοις[72] τοὺς πρέσβεις προσαπητήσαμεν βεβαιοῦν ἦ μὴν καὶ ἔτι περιεῖναι τὴν νόμιμον, ὅτε τῇ τοῦ Τερτερῆ συνεπλέκετο, καὶ ἄρτι | μὴ ζῆν, ὅθ' ἡμεῖς εἰς γαμβρὸν ἐτάττομεν, ὡς ἐντεῦθεν τὴν B 295 μὲν συμβαίνειν εἶναι παράνομον, τὴν δ' ἡμετέραν, εἰ καὶ νηπίαν, ἀλλ' οὖν ἔννομον. Καινοτομεῖσθαι δὲ καὶ χρόνον, ὡς οἴδατε, ἐπὶ τοῖς βασιλικοῖς κήδεσι, φέρουσι καί τι συνοῖσον πάντως διὰ τὴν ἐκ[73] τῆς εἰρήνης κατάστασιν. Τέως δὲ καὶ οὕτως ἐχόντων ἡμῶν τῆς ἀπολογίας, ἡμῖν μὲν καὶ ταῦτα καὶ πλείω πράττειν ἀνάγκη κατὰ[74] συμφέρον κοινόν, εἰ καὶ λυπηρ' ἄττα συμπίπτοιεν[75], ὡς ἀλγεινὸν καὶ τόδε διαφερόντως · ὑμῖν δὲ προκείσθω[76] καὶ αὖθις εἰς σκέψιν, καὶ ὃ δόξειεν[77] ἄν, μόνον μετ' εὐλόγου τοῦ αἰτιάματος, συγχωρῶ γίνεσθαι. Βασιλεῖ γὰρ εἶναι ἢ πατέρας ἑτέρους τῶν νόμων ἢ παῖδας ἄλλους Ῥωμαίων ἁπάντων οὐκ οἶμαι. » Ταῦτ' ἔλεγε βασιλεὺς καὶ ἐδόκει πιθανά τε λέγων καὶ τὰς γνώμας τῶν πολλῶν ἔπειθε.

Δεύτερον τὰ περί τε τοῦ[78] ἅλατος καὶ σιδήρου καὶ χρυσολογιῶν ἑτέρων ἀπελογεῖτο, τὴν χρείαν προβαλλόμενος καὶ τὴν ἐπὶ τοῖς κοινοῖς ἀνάγκην, ὡς οὐδὲν[79] τῶν δεόντων ἄνευ χρημάτων πεφυκὸς ὂν γίνεσθαι · μηδὲ γὰρ αὐτὸς | χρυσὸν ἀγαπᾶν μηδ'[80] ἄργυρον τὸ παράπαν, εἰ μὴ βοηθοῖεν[81] χρείαις B 296 ταῖς ὑπὲρ τῶν Ῥωμαίων. Παρ' ἣν αἰτίαν, ἐκλελοιπότων χρημάτων, καὶ ῥόγας τὰς[82] συνήθως διδομένας παρακατέχεσθαι καὶ προσεξευρίσκειν ἀνάγκη πόρους εἰς συλλογήν, ἵνα γοῦν καὶ κινοίμεθα, ἔλεγεν. Ἐπῆγε δὲ καὶ βασιλεῖς ἀρχαίους, καὶ μᾶλλον τὸν Ἰωάννην, ὁπόσην τὴν ὑπὲρ τῶν χρημάτων εἶχε σπουδήν, ὡς, ἐγκληθὲν παρά των[83] ὅτι, χρήματα εἰσκομίσαντες, οὐκ ἐξαπιναίως παρὰ τῶν ἐν τῷ κοινῷ ταμιείῳ ἐχόντων τὴν ἐνοχὴν προσδεχθεῖεν, ὀργὴν προστριβῆναι τοῖς μὴ παρευθὺς δεξαμένοις τόσην ὥστε καί, ἑνὸς εἰς Λαζοὺς φυγόντος, θατέρῳ πληγὰς ἐκ προστάξεως ἐντεινάντων, συμβῆναι τῷ τότε ἡμερῶν ὀλίγων τεθνάναι. Παρῆγε δὲ καὶ μάρτυρα τῶν λεγομένων τὸν τότε λογαριαστὴν τῆς αὐλῆς Ἄγγελον · οὗ καὶ παρευθὺς ἐπὶ τούτῳ οἴκοθεν εἰσκληθέντος, τὸ μὲν εἰσελθεῖν καὶ αὐτὸν εἰπεῖν οὐκ ἐνεχώρει γίνεσθαι[84] · ὀφφικίῳ γὰρ τετιμημένον, τῶν ἄλλων καθημένων, ἐκεῖνον ἵστασθαι οὐκ ἐδικαίου ὁ βασιλεύς · καθέζεσθαι δὲ πάλιν εἰσιόντα παρακαίριον ἔδοξε. Διὸ δὴ καί γε τῷ συγγραφεῖ τῶν τοιούτων καὶ

71 συνάλλαγμα : συνάλα- A 72 ὅρκοις correxi : ὅρκους ABC edd. 73 ἐκ om. B 74 κατὰ : πρὸς τὸ B edd. 75 συμπίπτοιεν : ξυμ- AB edd. 76 προκείσθω : προσκ- BC Poss. 77 δόξειεν : -οιεν B Poss. 78 τοῦ om. C 79 οὐδὲν : δὲν A 80 μηδ' : μηδὲ C 81 βοηθοῖεν corr. Bekk. : -εῖεν ABC Poss. 82 τὰς om. AB edd. 83 παρά των : παρὰ τῶν B Poss. 84 γίνεσθαι : γίγν- A

---

55. Manuel Angélos (*PLP*, n° 215) est également connu comme copiste. Le logariaste de la cour occupe un rang modeste dans la hiérarchie aulique : il vient au 78e rang dans la liste de l'Appendice à l'Hexabiblos d'Harménopoulos (Verpeaux, p. 301[30-31]) et au 64e rang dans la liste du Pseudo-Kôdinos (Verpeaux, p. 139[9]). L'historien n'indique pas quelle dignité détenait Manuel Angélos au moment de porter ce témoignage, qui concernait un événement vieux d'une cinquantaine d'années au moins.

δευτέρῳ[85] | τῶν ἐκ τοῦ κλήρου καὶ αὐτῷ[86] τιμίων παρὰ βασιλέως ὥριστο B 297 ἐξελθόντας ἐρωτᾶν καὶ πυνθάνεσθαι τούτου περὶ ὧν ὁ βασιλεὺς ἔλεγε. Καὶ γέγονε ταῦτα, καὶ ἐμαρτυρεῖτο τὸ λεγόμενον ἀληθές, πλέον εἰπόντος ἐκείνου καὶ τὸν τῶν ἡμερῶν ἀριθμὸν καί γε τὴν τοῦ θανάτου νόσον τῷ τελευτήσαντι · τέσσαρας γὰρ τὰς[87] ἡμέρας καὶ αἱμόρροιαν ἐπισυμβᾶσαν τῷ αἰκισμῷ τὴν τοῦ θανάτου αἰτίαν προσεμαρτύρει.

Ἧκε δ' ὁ λόγος καὶ περὶ[88] τῶν ἀναφορῶν, καὶ μεθ' ὅτι πλεῖστα δὴ τὰ λεχθέντα, ἐφ' οἷς ὁ βασιλεύων ἐδείκνυ τὸ πρὸς τὸν πατριάρχην συγκεχωρηκὸς ἐφ' ἅπασι σχεδὸν ἢ τοῖς πλείστοις, διῄρει τὰ προσαναφερόμενα, καὶ ἄλλα[89] μὲν ἐτίθει τὰ κατὰ[90] ἀνάγκην προκείμενα, ἃ μηδ'[91] εἶναι δίκαιον παρορᾶσθαι διὰ τὴν κατὰ τὸ δίκαιον δυσωπίαν, ἄλλα δέ γε τὰ κατὰ χάριν προτεινόμενα εἴς γε λύσιν, ἐφ' οἷς καὶ ὑπακούοντος μὲν χάριν εἶναί οἱ, μὴ κατανεύοντος δὲ μὴ δοκεῖν δικαίως λυπεῖν τὸν ἀποτυγχάνοντα. Συνάπτειν δὲ ταῦτα πατριάρχην καὶ ἓν ἡγεῖσθαι τὰ τρόπον[92] ὁρισμάτων Μυσῶν καὶ Λυδῶν διιστάμενα[(4)] καὶ διὰ τοῦτο λυπεῖσθαι, εἰ ἔν τισιν ἀσυγκάταινος[93] εἴη ὁ βασιλεύς, οὐκ ἔχειν τὸ εὔλογον ἰσχυρίζετο. Τέως δὲ καὶ καθ' ὑπόσχεσιν[94] ἐπενέγκας ὡς εὐμενῶς ἐντεῦθεν καὶ ἀκούοιτο καὶ συμπράξειε, διαλύειν τε | τὴν B 298 λύπην ἠξίου καί, μικροψυχίας πάσης ἀπαλλαγέντα, τῆς τιμῆς ἔχεσθαι. Ταῦτ' οὖν ἐκεῖνός τε[95] λιπαρῶς ἠξίου καὶ τοὺς ἄλλους εἶχε συναξιοῦντάς[96] τε καὶ συμπείθοντας[97]. Κἀντεῦθεν ὁ γηραιὸς ἐκεῖνος μαλακισθείς — ἦν γὰρ ταῖς ἀληθείαις καὶ τὴν[98] γνώμην εὐένδοτος —, παροτρυνθεὶς εἰς τοῦτο καὶ παρὰ τῶν ἰδίων, κατανεύει καὶ βασιλεῖ ἀξιοῦντι πείθεται καὶ καθυπισχνεῖται αὐτίκα, ἐκεῖ μόνον μείναντα, ὑπ' αὐγὰς τὰς πρώτας τὸ πατριαρχεῖον καταλαβεῖν. Γέγονε τοῦτο, καὶ ἡ τῆς Ὑπαπαντῆς ἑορτὴ τὸν πατριάρχην καὶ πάλιν[99] ἐπὶ τῆς ἐκκλησίας ὁρᾷ.

ι'. Περὶ τῶν κατὰ τὸν Ἐφέσου Ἰωάννην.

Ἀλλ' οὐκ ἦν καὶ ἐσαῦθις τὸν τοῦ Τελχῖνος ἠρεμεῖν φθόνον, ἀλλ' ἔαρος ἐνστάντος ἐντεῦθεν καὶ τῶν Πασχαλίων διελθουσῶν, ὁ περὶ τοῦ Ἐφέσου Ἰωάννου λόγος κινεῖται. Καὶ βασιλεὺς μὲν αὐτός, ὁμολογῶν εἰς αὐτὸν ἁμαρτεῖν — μηδὲ γὰρ εἶναι ἄλλον τὸν καθαιρήσαντα[1], ἀλλὰ μόνον τὸ σφέτερον θέλημα διὰ τὸ ἐπὶ τοῦ Γρηγορίου σκάνδαλον, μὴ τοῖς ἄλλοις κἀκείνου

(4) Cf. Plutarque, *Morales*, 122 c.

85 δευτέρῳ : -ων AB    86 αὐτῷ : -ὸ B    87 τὰς om. B edd.    88 τῶν ante περὶ add. B edd.    89 καὶ ἄλλα — προκείμενα om. AB    90 κατὰ : κατ' edd.    91 μηδ' : μηδὲ C    92 τρόπον : -ων AB    93 ἀσυγκάταινος : -τενος A    94 καθ' ὑπόσχεσιν : καθυ- Bekk.    95 τε om. B edd.    96 συναξιοῦντάς : ξυν- AB edd.    97 συμπείθοντας : συνπ- B Poss.    98 καὶ τὴν : κατὰ B    99 καὶ πάλιν om. edd.    1 καθαιρήσαντα : -σοντα AB edd.

60. Il s'agissait de rétablir sur son siège Jean Cheilas, métropolite d'Éphèse, qui avait été suspendu de ses fonctions par l'empereur en 1289 pour avoir refusé de reconnaître l'orthodoxie du patriarche Grégoire (VIII, 8). La discussion fut engagée en avril 1301, après la fête de Pâques, qui tombait cette année-là le 2 avril. Comme il est précisé plus bas, Éphèse est un siège élevé, puisqu'il tient le 2e rang dans la hiérarchie des métropoles, après Césarée.